ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝ…
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ…
ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ…

# ΣΤΟΙΧΕΙΑ
## ΤΗΣ
# ΜΕΤΑΦΥΣΙΚΗΣ.

---

## Πρόλογος.

Τὴν Μεταφυσικὴν εἰς δύο οἱ σοφοὶ διαιροῦντες, δίχα αὖθις ἑκάτερον τῶν μερῶν ὑποτέμνουσι, καὶ τοῦ μὲν πρώτου τὸ πρῶτον Ὀντοσοφίαν, καὶ Κοσμοσοφίαν τὸ δεύτερον ἐπιγράφουσι, τοῦ δὲ δευτέρου ὑπόθεσιν τὰ ὕλης κρείττονα ὑποτιθέασι, ψυχῶν ἀμέλει τοι φύσιν, καὶ τὴν Δαιμόνων ἐν τῷ πρώτῳ, ἐν δὲ τῷ δευτέρῳ, Θεοῦ τοῦ ὑπερτελοῦς ὄντος τὴν ἄκτιστον καὶ ἀκήρατον. Κατὰ ταῦτα οὖν καὶ ἡμῖν κείσθω.

## ΜΕΡΟΣ. Α΄.

### Περιέχον τὰς ἀρχὰς τῆς Ὀντοσοφίας καὶ Κοσμοσοφίας.

Ὀντοσοφίαν ἀποκαλοῦμεν ἐπιστήμην καθόλου περί τε τὸ Ὄν, καὶ τὰ κατὰ γένος τῷ Ὄντι προσιδιάζοντα ἐνασχολουμένην· συμπίπτει δὲ ὁ ὁρισμὸς τῷ Ἀριστοτελείῳ (1). Κοσμοσοφίαν δὲ φαμὲν, τὴν τὰς ἀρχὰς καὶ τὴν τάξιν τῆς τοῦ Παντὸς συστάσεως ὑποτιθεμένην.

---

(1) *Βιβλ.* Γ. *Μεταφ. Κεφ.* Α΄.

Ε.Υ.Δ της Κ.τ.
ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑΛ. Α΄.

## Ἔννοιαι τοῦ Τινὸς, τοῦ Ὄντος, τοῦ Μηδενὸς, τοῦ Δυνατοῦ, τοῦ Ἀδυνάτου, τοῦ Ἀναγκαίου, τοῦ Ἐνδεχομένου.

### Ὁρισμοί.

Α΄. Ἐστὶ Τὶ τὸ εἴτε γενόμενον, εἴτε παρὸν, εἴτε ἐσόμενον, εἴτε δυνατὸν, κἄν τε οὐσία τοῦτο ᾖ, κἄν τε τὶ τῶν περὶ τὴν οὐσίαν.

Β΄. Ὂν δὲ ἐστὶν ὃ δήποτε ὑφέστηκε, κἄν τε οὐσία τοῦτο ᾖ, κἄν τε τὶ τῶν περὶ τὴν οὐσίαν. Καίτοι ἡ τοῦ Ὄντος ἐπωνυμία εἴληπται ποτε τοῖς Πλατωνικοῖς μετ᾽ ἐμφάσεως πρὸς τὸ σημαίνειν τὸ ὄντως Ὂν τὸ ἀΐδιον, καὶ τροπῆς ἐπέκεινα (1). Καθ᾽ ὃ καὶ μωσαΐζειν ὁ Πλάτων εἴρηται (2) τῷ κατὰ Μωσέα Ἰεχωβὰ, ὅπερ ὁ ὢν τοῖς ἑβδομήκοντα διηρμήνευται, συμφωνεῖν δοκούσης τῆς τοῦ ὄντος κατὰ Πλάτωνα κλήσεως.

Γ΄. Ἡ φωνὴ Μηδὲν διττὴν παρίστησιν ἔννοιαν, ὄντος τε καὶ στερήσεως τῶν ἐν ἐκείνῳ τινός. Οἷον εἴτις πρὸ τῆς καταβολῆς τοῦ κόσμου μηδὲν εἶναι φαίη, δύο τινὰ ἔσται κατὰ τὸ αὐτὸ ἐνθυμούμενος, τόν τε κόσμον, καὶ τὴν τοῦ κόσμου ἀπουσίαν. Καὶ χίμαιραν ἐννοοῦντι παρέσται ἅμα ἥτε τοῦ ὄντος διανόησις, καὶ ὅτι ἐν τοῖς οὖσι τὸ τέρας οὐδαμῶς ὑφέστηκε τὸ πλαττόμενον. Οὐκ ὀρθῶς τοιγαροῦν ὥρισται τὸ μηδὲν φωνὴ, ᾗ οὐδεμία παρίσταται ἔννοια.

Δ΄. Δυνατὸν ἐστὶ τὸ μήτε ὑφεστὸς, μήτε ἀσφαλῶς παριστάνον εἴγε ποτὲ ὑποσταίη, καὶ οὗ μηδοπωσοῦν ἀντιφάσει ὑπόκειται ἡ ὕπαρξις, οἷον τὸν ἐνεστῶτα αὔριον θνήξεσθαι, τὴν Σελήνην οἰκεῖσθαι, κτλ. Οὐ χρὴ οὖν τὸ δυνατὸν τῷ πιθανῷ συγχέειν· τὸ μὲν γὰρ τοῦ πράγματος ἀφορᾷ τὴν φύσιν, τὸ δὲ τοὺς λόγους, οἷς πρὸς κατάφασιν ἢ ἀπόφασιν κινούμεθα, καὶ χώραν ἔχει τοῦτό γε ἐπὶ τῶν ὄντων ἐπίσης καὶ τῶν δυνατῶν καὶ τῶν ἀδυνάτων.

Ε΄. Μὴ ἀντιφάσκοντα ἐστὶ τὰ ἅμα γενέσθαι δυνάμενα. Οἷον ἐκ τριῶν εὐθειῶν, ὧν αἱ δύο πάντη μεταλαμβανόμεναι μείζους εἰσὶ τῆς λοιπῆς, τρίγωνον συνίστασθαι, τὴν ὕλην κινεῖσθαι, καὶ τὰ παραπλήσια.

ϛ΄. Ἀντιφάσκοντα δὲ τὰ ἅμα γενέσθαι μὴ ἔχοντα, οἷον ἐκ τριῶν εὐθειῶν, ὧν αἱ δύο πάντη μεταλαμβανόμεναι τῆς λοιπῆς ἐλάττονες εἰσὶ, τρίγωνον συνί-

(1) *Πλάτων πολλαχοῦ, καὶ Πλωτῖνος, καὶ Ἀλκίνοος, καὶ ἄλλοι.*

(2) *Εὐσέβ. Εὐαγ. προπαρ. Βιβλ. ΙΑ. Κεφ. Θ΄.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ςασθαι, κύκλου περιφέρειαν πλευραῖς τετραγώνου συνεφαρμόζεσθαι, καὶ ὅσα τοιαῦτα.

Ζʹ. Μέλλον ἐςὶ τὸ μὴ μόνον δυνατὸν ὄν, παρὰ τὸ μηδεμιᾷ ἀντιφάσει ὑποκεῖσθαι τούτου τὴν ὕπαρξιν, ἀλλὰ καὶ ἀσφαλῶς ἐσόμενον· οἷον τὸν ἥλιον αὔριον ἀνατελεῖν, πάντα ἄνθρωπον θνήξεσθαι ποτὲ, κξ. Τὸ ἄρα μέλλον ἔννοιαν παρίςησι δυνατοῦ ὡρισμένου, ϗ χρόνῳ τινὶ ἀποκειμένου. Ἐξ οὗ δῆλον ϗ ὅτινι ἁπλῶς δυνατόν ἐςι, τοῦθ' ἑτέρῳ, τῷ εἰδότι πότε ἔςαι, μέλλον τυγχάνουσιν. Οἱ μὲν οὖν ϗ τῶν μελλόντων τὰ μὲν εἶναι φασὶν ἀπολύτως, τὰ δὲ ἐξ ὑποθέσεως μέλλοντα. Ἀλλὰ τῷ ὄντι ψυχρὰ ἡ διαίρεσις· ἃ γὰρ ἐξ ὑποθέσεως μέλλοντα ἀποκαλοῦσιν, ἢ πλείω ἀλλήλων ἀπηρτημένα τυγχάνει μέλλοντα, ἢ γοῦν μέλλοντα τοῖς δυνατοῖς συναπηρτημένα, ἢ γοῦν ἁπλῶς δυνατὰ τἀληθέςερον. Οἷον εἰ πῦρ προσαφθῇ, ἡ πυρῖτις κόνις καταφλεγήσεται. Ἀμείνων ϗ λυσιτελεςέρα ἡ ἐφεξῆς διαίρεσις.

Ηʹ. Τῶν δυνατῶν τὰ μὲν ἀπόλυτα ἐςὶ ϗ ἐσωτερικὰ, τὰ δὲ σχετικὰ ϗ ἐξωτερικῶς δυνατὰ καλούμενα. Κἀκεῖνα μέν ἐςιν, ὧν τὰ οὐσιώδη ἅμα ἔχει συνυποςῆναι, οἷον ζῶον λόγῳ κεκοσμημένον, σχῆμα χιλιογώνιον. Ταῦτα δὲ, ἅτινα οὐ μόνον ἐσωτερικῶς δυνατά ἐςιν, ἀλλὰ ϗ ἐξωτερικῶς, τουτέςι κατ' ἀναφορὰν πρὸς τὰ αἴτια, ὑφ' ὧν ἔχει ἐκτελεσθῆναι. Ἔνθα σημειωτέον, ὅτι προκειμένου ζητήματος περὶ τοῦ δυνατοῦ, εἰ ἐσωτερικῶς τοιοῦτον πρότερον ζητητέον, εἶτα ϗ εἰ ἐξωτερικῶς· εἰ μὴ γὰρ ἐκεῖνο πρότερον δῆλον γένηται, τηνάλλως εἰ τηλικαύτη τις ἐςὶ δύναμις ἡ παράξουσα συζητεῖται.

Θʹ. Ἀδύνατον ἐςὶν, οὗτινος ἡ ὕπαρξις ἀντιφάσει ὑπόκειται· οἷον κύκλος τετράγωνος, τὸ αὐτὸ ἅμα ϗ εἶναι ϗ μὴ, κτλ. Διαιρεῖται δὲ καθάπερ καὶ τὸ δυνατὸν εἰς ἐσωτερικῶς ϗ ἐξωτερικῶς τοιοῦτον. Ἀφεκτέον δὲ μήπου τοῖς ἀδυνάτοις κατατάττοιμεν, ὧν οὐκ ἐξικνούμεθα τὰς οὐσίας καὶ τὰς παραιτίους δυνάμεις περινοεῖν. Ἀλλὰ μὴ παρὰ τοῦτο δέον διὰ θατέρας τῶν ἀκροτήτων ἐκτραχηλίζεσθαι, ϗ μηδὲν ἀδύνατον εἶναι ἡγεῖσθαι, οὐδὲ τὸ αὐτὸ ἅμα εἶναι, ϗ μὴ εἶναι, τοῦθ' ὃ πεπονθέναι ἴσμεν τὸν Καρτέσιον, τὸ πανσθενὲς τοῦ Θεοῦ καὶ πάνσοφον λόγῳ ἀτόπῳ ἐξυμνεῖν οἰόμενον; Ὑπερβολὴ μανίας τῆς τῶν Σκεπτικῶν τὸ τοιοῦτο, ϗ πάσης γνώσεως ἀνθρωπίνης καθαίρεσις. Εἰ γὰρ, ἤ φησι Μαλεβράγχιος (1), ἅπαντα Θεὸς τὰ δυνατὰ ἐναργῶς τε ϗ εὐκρινῶς ἐποπτάνει, τούτων ἀλλ' οὖν εἰ μὴ πάντα, ἀλλὰ γοῦν τινὰ ϗ ἡμεῖς ἀσφαλῶς εἰ-

(1) Περὶ Ἠθ. καὶ Θρησκ. Βιβλ. Αʹ.

δέναι παρ' αὐτοῦ ἔχομεν· οἷον τὸ ὅλον μεῖζον εἶναι τοῦ μέρους, καὶ τὰ παραπλήσια. Ἐὰν οὖν ἐπὶ τῶν τοιούτων ἡ θεία γνῶσις μείζων ᾖ τὴν ἀσφάλειαν, ἀσφαλὴς γνῶσις ἡ ἡμῶν περὶ τὰ τοιαῦτα οὐκ ἔσται. Ἀλλ' ἀνοίκειον οἶμαι Θεῷ τῷ πανσθενεῖ τὸ τηλικούτους ἡμᾶς δημιουργῆσαι, οἵους μηδὲν ὅλως ἀσφαλῶς κατανοεῖν δύνασθαι, καίτοι νοητικῇ δυνάμει πλουτίσαντα.

Ι΄. Ἀδύνατα ἠθικὰ τοῖς Φιλοσόφοις καλεῖται, τὰ δυνατὰ μὲν ἐσωτερικῶς ὄντα, ἀλλ' ἢ ὡς ἥκιστα, ἢ ὅτι χαλεπῶς συμβαίνοντα, ἢ ὅπερ τῷ καθήκοντι λαμπρῶς διαμάχεται· οἷον ὑγιᾶ τὰς φρένας αὐτόχειρα ἀναιρεθῆναι, ἢ υἱὸν ἄλλως συνετὸν, καὶ τῷ πατρὶ ὑπερφιλούμενον, πατραλοίαν γενέσθαι. Τὸ ἄρα ἀδύνατον, ἐν Ἱεραῖς δέλτοις, ἀκούειν τοὺς ἅπαξ σωθέντας παραπεσόντας αὖθις ἀνανῆψαι, οὐ καλῶς τοῖς Ναυατιανοῖς ὡς ἁπλῶς ἀδυνάτως ἔχον παρείληπται. (1)

ΙΑ΄. Ἀναγκαῖον καθ' ὕπαρξιν ἐστὶν, οὗ μηδὲν αἴτιον ἐστὶ τῆς ὑπάρξεως. Τοιοῦτο τὸ Ὂν τὸ αἰώνιον, ὅπερ ἀνάγκῃ φύσεως ὑπάρχειν κοινῇ τοῖς φιλοσοφοῦσι λέλεκται, τῇ αὐτοῦ φύσει δηλαδὴ ἀναγκαίως προσήκουσαν ἔχον τὴν ὕπαρξιν. Ἀλλ' ὁμολογητέον, ὥσπερ τῆς αἰωνιότητος, οὕτω καὶ τοῦ ἀνάγκῃ φύσεως ὑπάρχειν ἀνθρώποις ἐναργῆ μὴ ἐξεῖναι λαβεῖν περίνοιαν.

ΙΒ΄. Ἀναγκαῖον κατ' οὐσίαν ἐστὶ τὸ τῇ οὐσίᾳ ἄτρεπτον, οἷον μόνον τὸ αἰώνιον Ὂν τῷ Πλάτωνι ἐδοξάζετο· τὸ γὰρ γεγονὸς καὶ τρεπτόν. Εἰ οὖν οὐδὲν τρεπτὸν φύσει διαιωνίζον, ἀντιφάσει προδήλῳ περιπίπτουσιν, ὅσοι τὴν ὕλην αἰώνιον ἔθεντο.

ΙΓ΄. Ἀναγκαῖον πρὸς ὕπαρξιν ἐστὶν, οὗ ἄνευ οὐκ ἂν ὑπάρξῃ θάτερον. Εἰ γοῦν μὴ ὑπάρχῃ τὸ Β, μὴ ὑπάρχοντος τοῦ Α, τοῦτο ἀναγκαῖον πρὸς τὴν ἐκείνου εἰρήσεται ὕπαρξιν.

ΙΔ΄. Ἀναγκαῖον πρὸς οὐσίαν ἐστὶν, οὗ ἄνευ ἡ τοῦ πράγματος οὐσία οὐκ ἔχει τεθεῖναι. Καλεῖται δὲ τοῦτο Οὐσιῶδες τῷ Οὐολφίῳ. Οὕτω τὸ ἴσον τῆς ἀποστάσεως τῆς περιφερείας ἀπὸ τοῦ κέντρου ἀναγκαῖον ἐστὶ πρὸς οὐσίαν τῷ κύκλῳ. Οὕτως ὁ Σπινόζας νοῦν αἰώνιον ἀναγκαῖον εἶναι πρὸς οὐσίαν τοῦ κόσμου ὑπέθετο· Οἱ δὲ δύναμιν τινὰ δραστήριον (ὑλαρχικὴν καλοῦσιν) ἀναγκαίαν εἶναι βούλονται πρὸς οὐσίαν τῆς ὕλης, οἷον Ἀριστοτέλης, Τολάνδος, Λεϊβνίτιος, περὶ ὧν ἀλλαχοῦ.

ΙΕ΄. Τὸ Α ἀναγκαίως τε καὶ ἐσωτερικῶς ἤρτηται ἀπὸ τοῦ Β, ἐὰν τοῦτο ἀναγ-

(1) Κυπριαν. Βιβλ. περὶ πεπτωκότων.

καῖον ᾖ πρὸς οὐσίαν ἐκείνῳ· ὡς ὁ Κόσμος ἀπὸ Θεοῦ κατὰ Σπινόζαν, ϗ ἄνθρωπος ἀπὸ σώματος ϗ ψυχῆς, ϗ ἁπλῶς ἅπαν ἀπὸ τοῦ ἐν αὐτῷ οὐσιώδους.

ΙϚʹ. Τὸ Α ἐξωτερικῶς ἀπήρτηται τοῦ Β, εἰ τοῦτο μόνον ἀναγκαῖον ᾖ πρὸς ἐκείνου τὴν ὕπαρξιν. Οὕτω καθ' ἡμᾶς ὁ Κόσμος ἀπὸ Θεοῦ, καὶ ἅπαν αἰτιατὸν ἀπὸ τῶν ἰδίων αἰτίων.

ΙΖʹ. Ἐνδεχόμενον ἀκούει τοῖς Φιλοσόφοις ἅπαν τὸ ἐξωτερικῶς ἄλλου ἀπηρτημένον. Τοιαῦτα πάντα τά τε ὑφεστῶτα ϗ δυνατὰ, τὰ *ἀνάγκῃ φύσεως* μὴ ὑπάρχοντα. Αὕτη δέ ἐστιν ἡ πρὸς τὸ ἀναγκαῖον τοῦ ἐνδεχομένου ἀντίθεσις.

## ΚΕΦΑΛ. Βʹ.

## Περὶ Σχέσεως, Ὑποκειμένου, Προσκειμένου, Οὐσίας, Ἰδιώματος, Τρόπου.

ΙΗʹ. Ἡ ὁποιαδηποτοῦν συνάφεια τινὸς πρός τι σχέσις καλεῖται. Ἡ δὲ συνάφεια αὕτη ἢ πραγματιώδης ἐστὶν, ἢ ἠθικὴ, ἢ κατ' ἐπίνοιαν. Καὶ ἡ μὲν ἐν αὐτῇ τῇ φύσει τῶν πραγμάτων τὸ εἶναι ἔχει, οἷον ἡ τοῦ πατρὸς πρὸς τὸν υἱὸν οἰκειότης. Ἡ δὲ ἐν τῇ τῶν ἀνθρώπων κεῖται ὑπολήψει, οἷα ἡ τῆς γαμετῆς πρὸς τὸν ἀγαγόντα. Ἡ δὲ νοήσει μόνῃ τυγχάνει ληπτὴ, ϗ τοιαύτη ἡ τῶν ἐπιστημονικῶν ἀρχῶν πρὸς τὰ ἐξ αὐτῶν ἐπιφερόμενα σχέσις, ϗ ἡ μεταξὺ τῶν ὁμοίων, ὧν θάτερον ἀπὸ θατέρου οὐδαμῶς ἤρτηται, κ. ἑξ. Ἃ τοίνυν πραγματιώδη πρὸς ἄλληλα τὴν σχέσιν ἔχει, τοιαῦτα μάλιστα ἐστὶν, ὡς θάτερον ἄνευ θατέρου μηδαμῶς γινώσκεσθαι. Ἐπὶ δὲ τῶν ἠθικῶν, ϗ κατ' ἐπίνοιαν σχέσεων, τῶν μὴ παρὰ πᾶσι γινωσκομένων, ὁ λόγος ἥκιστα κρατεῖ.

ΙΘʹ. Διαιρετέον ἐπὶ τῶν σχέσεων τά τε *ὑποκείμενα*, ἐν οἷς ἡ συνάφεια θεωρεῖται, ϗ τὸν λόγον, ὃς αὐτή ἐστιν ἡ συνάφεια. Κἀκείνων σημειωτέον τὴν παρὰ Σχολαστικοῖς φερομένην διαφορὰν, παρ' οἷς τὸ μὲν τὴν ἀναφορὰν ἔχον, *ὑποκείμενον* ἰδιαζόντως ἀκούει τῆς σχέσεως, τὸ δὲ πρὸς ὃ τὴν ἀναφορὰν ἔχει *ὅρος*, ἐν οἷς ὁ *λόγος* Γʹ., δι' ὃν ἡ πρὸς ἐκεῖνα συνάφεια. Ἐξ ὧν δὴ φανερὸν, ὅτι τῶν ὑποκειμένων νοουμένων ἡ σχέσις νοεῖται, οὐδ' ἐπάναγκές ἐστι διακρίνειν τὰς τῶν σχέσεων ἰδέας ἀπὸ τῶν ὑποκειμένων, ἐν οἷς ἡ σχέσις, ὅπερ ἐνόμισε Λώκιος (1), ὃς ϗ τὰς σχετικὰς ἰδέας ταῖς τῶν σχέσεων, καίτοι μακρῷ διαφερούσας συναναμίγνυσι.

(1) Βιβλ. Βʹ. Κεφ. ΚΕʹ. §. δʹ. ϗ πανταχοῦ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Κ'. Ὑποκείμενον ἐςὶν, ἐν ᾧ τι ἐνυπάρχειν νοεῖται. Προσκείμενον δὲ τὸ ἐνυπάρχον. Ὁ τοίνυν πίναξ ὑποκείμενον ἐςὶν, ἡ δὲ γεγραμμένη εἰκὼν τὸ ἐν ἐκείνῳ προσκείμενον. Αἱ μὲν οὖν τῦ ὑποκειμένυ ϗ τῦ προσκειμένυ ἰδέαι τυγχάνυσι σχετικαὶ, θατέρα θατέρας ἄνευ, ὐδὲ κατ' ὐφαίρεσιν ὅλως νούμεναι.

ΚΑ'. Οὐσία ἐςὶ τὸ πρῶτον ὑποκείμενον τῦ ὅπέρ ἐςιν, ἢ τελεῖται, τὸ μηδενὸς ἀπηρτημένον ἐσωτερικῶς πρὸς ὕπαρξιν.

ΚΒ'. Ὁ δὲ τρόπος ἐςὶ τὸ προσημμένον τῇ οὐσίᾳ, ϗ ταύτης πρὸς τὸ εἶναι ἐσωτερικῶς ἀπηρτημένον, ἐκείνης δὲ τῷ λόγῳ τῷ οὐσιώδει ὐδαμῶς προσανῆκον. Ὁ μὲν οὖν Λώκιος (1) ὐδεμίαν ἡμᾶς ἐναργῆ ϗ εἰλικρινῆ τῆς οὐσίας περίνοιαν ἔχειν ὑπείληφε· καίτοι γὰρ ἴσμεν, φησὶν, εἶναι τινὰ τῶν πραγμάτων πρώτιςα ὑποκείμενα, ἀλλ' οἷα ταῦτα ἐςὶν ἀγνοῦμεν. Τῷ ὄντι δὲ ἡ τῶν πρωτίςων ὑποκειμένων ϗ ἀρχῶν τῶν ὄντων γνῶσις τοῖς φιλοσοφῦσι χρῆμα δυσθήρατον. Διὸ ϗ οἱ τὰ σώματα ἐπ' ἄπειρον φυσικῶς διαιρετὰ εἰσηγύμενοι, ἀπαναίνεσθαι εἶναι τινὰ πρώτην τῶν σωμάτων ὐσίαν ὀφείλυσιν, εἰ μέλλυσι σύμφωνα ἀποφαίνεσθαι. Οἱ δὲ ὐσίαν τινὰ καθόλυ εἰσάγυσι μονοειδῆ, ἀπλυςάτην, ἄμετρον, αἰωνίαν, ἧς τεθείσης, ὐδὲ μία ὐσία κατὰ μέρος δυνατὴ ἔςαι. Ἐκείνη γὰρ παντὸς μέτρυ καὶ πέρατος ὖσα ἐπέκεινα, γένοιτ' ἂν τόπος ἁπάντων καὶ θεμέλιος, ϗ πρώτιςον ὑποκείμενον, ϗ ἑκάςυ ὐσία· τῦτο δὴ τὸ τῦ καταπτύςυ Πανθεϊσμῦ νόσημα. Ὁ δὲ Σπινόζας, ὡς ἐπείθετο τὸ μὴ σωματικὸν εἶναι ϗ ἀνυπόςατον, ὐσίαν ὑπέθετο μίαν, ἄπειρον, αἰωνίαν, ἐξ ἀπείρυ νοήσεως ϗ δραςηρίυ δυνάμεως, ϗ ἐξ ἀπεράντυ σώματος συγκειμένην. Καὶ δεινῶς ἄρα ἐν τῇ ἰδέᾳ τῆς οὐσίας ἐξηπάτηται, καθὰ ἐν τῷ Ἀντισπινόζᾳ Χριςοφόρος ὁ Βιττίχιος ἀποδείκνυσιν. Ἀλλὰ ϗ τὸν Καρτέσιον μηδεμίαν εὐκρινῆ τῆς ὐσίας ϗ ἐναργῆ ἔννοιαν ἐσχηκέναι, ἢ τῇ αὐτῇ συνεξωκεῖλαι τῷ Σπινόζᾳ ἀπάτῃ, Ἰωάννῃ τῷ Ῥηγίῳ δέδεικται (2). Ἐξ ὧν δῆλον περὶ τὴν τῆς οὐσίας ἔννοιαν τὺς Φιλοσόφυς λημμᾶν, ὃ ϗ τὴν τῶν ἐπιςημῶν ἐς τόδε πρόοδον λίαν παρελυμήνατο.

ΚΓ'. Οὐσιώδη καλῦμεν, ἐξ ὧν πρώτων ἡ τῦ ὄντος ὐσία σύγκειται, τὰ μήτε ἀπ' ἀλλήλων, ὐδ' ἀπὸ ἄλλυ προτέρυ ἐσωτερικῶς ἠρτημένα. Τοιαῦται αἱ τρεῖς πλευραὶ ἐπὶ τῦ Τριγώνυ, τὰ ἄπλᾶ, ϗ αἱ δραςήριοι δυνάμεις ἐν τῇ ὕλῃ, εἰπεῖν κατ' Ἐπίκυρον. Τῶν ὖν ἁπλῶν ὄντων ἀπλᾶ ϗ τὰ ὐσιώδη, τῶν δὲ συν-

(1) Βιβλ. Α'. Κεφ. Γ'. §. ιη'. καὶ Βιβλ. ΙΒ'. Κεφ. ΚΓ'. §. α'. ϗ β'.

(2) Καρτέσιος ἀληθὴς τῦ Σπινοζισμῦ ἀρχιτέκτων.

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

θέτων γένοιτ' ἂν ϗ αὐτὰ σύνθετα. Ἐπὶ μὲν δὴ τȣ̃ παρόντος ὁρισμȣ̃ τὰ ȣ̓σιώδη τῆς κυρίως ȣ̓σίας ὑπαινιττόμεθα, ἣν ἁπλῆν βȣ́λεται ὁ λόγος (ὁρ. ΚΑ΄.). Ἀλλ' ὥσπερ ἐπ' ἐκείνης τὰ ȣ̓σιώδη ἐκ προτέρων ȣ̓κ ἤρτηται, ȣ̆̔τως ἐπὶ τῶν συνθέτων ȣ̓σιῶν ȣ̓δὲν κωλύει τὰ ȣ̓σιώδη ȣ̓σίας τινὰς ἁπλȣςέρας τυγχάνειν.

ΚΔ΄. Ἴδιον ἐςὶ τὸ καίτοι μὴ πρῶτον ἐν τῇ ȣ̓σίᾳ (καθ' ὃ ϗ τȣ̃ ȣ̓σιώδȣς διακρίνεται), ἀναγκαίως ἀλλ' ȣ̃ν ϗ ἐσωτερικῶς αὐτῆς ἐκπηγάζον, κἀκείνης τεθείσης, τιθέμενον. Διαςέλλεται ȣ̃ν τȣ̃ τρόπȣ τȣ̃ ἀπεῖναι τῆς ȣ̓σίας ἔχοντος.

ΚΕ΄. Τῶν ἰδίων τὰ μὲν **καταφατικὰ**, τὰ δὲ **ἀποφατικὰ**, ϗ τὰ μὲν ἀναπτύσσει τί ἐςι τὸ προκείμενον, τὰ δὲ τὶ ȣ̓κ ἔςι. Τȣ̃ πρώτȣ γένȣς ἐν τοῖς σώμασιν ἐςὶν ἡ **ἔκτασις**, τȣ̃ δὲ Β΄. τὸ **ἀδιαχώρητον**· ἀλλ' ἐκείνων προτέρα ἡ γνῶσις.

## ΚΕΦΑΛ. Γ΄.

## Περὶ τȣ̃ τὶ ἦν εἶναι, ϗ περὶ Φύσεως.

Κϛ΄. Τὸ τὶ ἦν εἶναι τὸ ἐσωτερικὸν εἶδος ἐςὶ, καθ' ὅ,τι μᾶλλον τοιȣ̃τον ἐςὶν, ἢ τοιȣ̃τον· κεῖται δὲ τȣ̃το ἐν τῇ ἀδιαιρέτῳ τῶν **ȣ̓σιωδῶν** ϗ τῶν ἰδίων ἑνώσει. Ἀδιαίρετον δὲ τὴν ἕνωσιν ἀποκαλῶ, ὅτι τινὸς τῶν ἡνωμένων ἀρθέντος, ὁ τȣ̃ τὶ ἦν εἶναι λόγος παραυτίκα μεθίςαται. Ὥςε ȣ̓ καλῶς οἱ περὶ Καρτέσιον ἐν μιᾷ ϗ μόνῃ ἰδιότητι, ἀφ' ἧς αἱ λοιπαὶ ἐκπηγάζειν νοȣ̃νται, ἢ δὲ μὴ ἐξ ἄλλης, τὸν ȣ̓σιώδη λόγον τιθέασι κείμενον, οἷον τȣ̃ σώματος ἐν μόνῃ τῇ ἐκτάσει· τȣ̃το γὰρ ἂν ἴσως ἀληθὲς ᾖ ἐπὶ μόνων τῶν ἁπλȣςάτων. Ἔνθεντοι ϗ τȣ̃ ȣ̓σιώδȣς λόγȣ παντὸς τὸ δυςέφικτον χαλεπὸν ὂν ϗ τὰ ȣ̓σιώδη πάντα ϗ ἴδια ἀκριβῶς εἰδέναι, ϗ τȣ́των περινοεῖν ἀκραιφνῶς τὴν ἕνωσιν· τὸ δὲ, ἐπὶ τῶν Γεωμετρικῶν ϗ Ἀριθμητικῶν ῥάδιον, ὧν οἱ κατ' ȣ̓σίαν λόγοι ἀπὸ βȣλῆς ὄντες ϗ ὀνοματώδεις, ἀλλὰ μὴ πραγματιώδεις, εὐχερῶς ϗ νοεῖσθαι πεφύκασι.

ΚΖ΄. Τὸ τὶ ἦν εἶναι ἢ **πραγματιῶδες** ἐςὶν, ἢ **ὀνοματῶδες**· ϗ τὸ μὲν ἐςιν ᾧ τὸ πρᾶγμα τοιȣ̃τον ἐςί· τὸ δὲ ἔννοιά τις ἐςὶν ἡμετέρα περὶ τὸ πραγματιῶδες τὶ ἦν εἶναι φωναῖς ἐκφερομένη. Ἀλλ' ἐκεῖνο μὲν τὰ πολλὰ ἀγνοεῖται τὸ πραγματιῶδες, τȣ̃το δὲ τῶν φωνῶν προφερομένων ῥᾷςα κατανοεῖται. Ἐπεὶ δὲ αἱ ἔννοιαι καίτοι περὶ τῶν αὐτῶν ȣ̓ παρὰ πᾶσιν αἱ αὐταὶ εἰσὶν, ἐντεῦθεν συμβαίνει τὰ πολλὰ τȣ̀ς σοφȣ̀ς ϗ περὶ τȣ̀ς ὀνοματώδεις ὁρισμȣ̀ς διαφωνεῖν. Τὸ μὲν ȣ̃ν τὸ ὀνοματῶδες τὶ ἦν εἶναι τῷ πραγματιώδει συμφύρειν (καίτοι πολλοῖς τȣ̃το τελεῖται) σφαλερόν. Εἰδέ τις ἐςὶ συμφωνία ποτὲ ἐννοιῶν με-



Ε.Α. τμ. Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

ταξὺ, καὶ πραγμάτων, αὕτη ἐπὶ πάνυ ὀλιγίστοις ἂν εἴη, καὶ ἐπί τισι τῶν ἁπλουστέρων τρόπων καὶ μόλις.

ΚΗʹ. Οἱ τῶν ὄντων οὐσιώδεις οὗτοι λόγοι οἱ πραγματιώδεις, ἢ γεγονότες εἰσὶν, ἢ γοῦν νοητοὶ, καὶ δυνατοὶ μόνον. Οἱ μὲν ἐν τῷ Δημιουργῷ νῷ θεωροῦνται περιεχόμενοι, οἱ δὲ καὶ Θεοῦ ἐκτὸς ὑφεστήκασιν. Ἡνίκα γοῦν ἄτρεπτοι καὶ ἀεὶ ὡσαύτως ἔχουσαι αἱ τῶν ὄντων οὐσίαι γεραίρονται, νοητέον δὴ τοῦτο περὶ τῶν νοητῶν· Ἄλλως γὰρ ἀντιφάσκοντα λέγουσιν οἱ τὰ μὲν πράγματα τρεπτὰ, τούτων δὲ τὰς οὐσίας ἀτρέπτους ὑποτιθέμενοι. Σοφῶς ἄρα καὶ Πλάτων μόνα ἄτρεπτα ἐδόξαζε τὰ αἰώνια.

ΚΘʹ. Δύναμις ἐστὶν ὁρμή τις πρὸς ἐνέργειαν· ἔστι δὲ ζῶσα, ἢ νεκρὰ καλουμένη· ἡ μὲν ἐνεργείᾳ ἀεί ποτε συνημμένη, οἷον ἡ φλογὸς δύναμις ἡ πυρπολοῦσα· ἡ δὲ ἐν μόνῃ τῇ πρὸς τὸ ἐνεργεῖν κειμένῃ ῥοπῇ, οἷον ἡ διὰ τὸν ἐμποδὼν ἱστάμενον μίτον, ᾧ προσῆπται, τοῦ μετεώρου λίθου βάρυνσις.

Λʹ. Ἡ δὲ ἐνέργεια πρὸς μὲν τὴν αἰτίαν, ἀφ' ἧς ἐκπηγάζει, θεωρουμένη, αὐτὸ τοῦτο ἀκούει ἐνέργεια, πρὸς δὲ τὸ ὑποκείμενον, ἐν ᾧ ὑπὸ τοῦ ἐκτὸς αἰτίου παράγεται, πάθος. Εὐχρηστεῖ γοῦν μάλιστα ὁ ὁρισμὸς πρὸς κατάληψιν τοῦ θρυλλουμένου ζητήματος, πότερον ὁ νοῦς δύναμις ἐστὶν ἐνεργητικὴ, ἢ παθητική; Τοῦτο γὰρ ταυτόν ἐστι τῷ ζητεῖν, πότερον ἔνεστιν ἡμῖν δύναμίς τις ἐνεργητικὴ τῶν ἡμετέρων ἐννοιῶν παρακτικὴ, ἢ γοῦν αἱ ἔννοιαι ἡμῖν ἅπασαι παρὰ Θεοῦ, ὡς αἱ κινήσεις τῷ λίθῳ παρὰ τοῦ βάλλοντος παράγονται, ὡς ὑπείληφεν ὁ Καρτέσιος (1);

ΛΑʹ. Φύσιν καλοῦμεν τὰς δυνάμεις, ἤτοι τὴν ἐνεργητικὴν τοῦ ὄντος ἀρχὴν, ἐπὰν ὁ λόγος περὶ τῶν φυσικῶν ᾖ· ἐπὶ δὲ τῶν ἠθικῶν, τῶν ἀνθρωπίνων πράξεων τὸν γνώμονα, τὸν ἡμῖν τῷ φυσικῷ φωτὶ ὑπὸ τοῦ δημιουργοῦ τῆς φύσεως ἐνσπαρέντα.

ΛΒʹ. Φύσεως θεσμοὺς ἀποκαλοῦσιν οἱ Φυσικοὶ τοὺς κανόνας, καθ' οὓς τὰς κινήσεις ἐν τῷ παντὶ τελεῖσθαι ὁ Δημιουργὸς διετάξατο. Τῶν δὲ κανόνων τούτων λόγος ὁ ἀποχρῶν ἡ τοῦ Θεοῦ μόνη τυγχάνει βούλησις (2). Τούτοις οὖν τοῖς κανόσι καὶ τὸ πᾶν διεκοσμήθη καὶ συντηρεῖται.

ΛΓʹ. Νόμους δὲ τῆς φύσεως οἱ Ἠθικοὶ ὀνομάζουσι, καθ' οὓς οἱονεὶ κανόνας.

(1) *Μέρει αʹ. τῶν Ἐπισ. ἐπισ. ριϛʹ.*

(2) Ὅρα Γραβεζάνδ. Στοιχ. τῆς Φιλ. τοῦ Νεύτ. §. δʹ. καὶ Μεχεμβροέκ. Στοιχ. Φυσικομαθ. §. ζʹ.

Βιβλ. Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὰς αὐτῶν ἐλευθέρας πράξεις τὺς ἀνθρώπυς διατάττειν, διὰ τῦ φυσικῦ φωτὸς ὁ Θεὸς ὑποτίθησι ϗ ἐντέλλεται.

## ΚΕΦΑΛ. Δ΄.

## Περὶ Ταυτότητος ϗ Διαιρέσεως.

ΛΔ΄. Ταυτότης ἀφῃρημένως ἐςὶ σχέσις Ὄντος ἀτρέπτυ, καίτοι τῦ τόπυ ϗ τῦ χρόνυ τρεπομένων. Συγκεκριμένως δὲ ταυτόν ἐςιν, ἐν ᾧ μηδὲν ἐτράπη, καίτοι τῦ τόπυ ϗ τῦ χρόνυ τραπέντων.

ΛΕ΄. Ἑτερότης δὲ κατ᾽ ἀφαίρεσιν, ἔννοια Ὄντος τόπῳ ϗ χρόνῳ συμμεταβάλλοντος. Ἕτερον δὲ κατὰ σύγκρισιν, ἅπαν τὸ ἐν ἑτέροις χρόνοις ϗ τόποις τρεπόμενον. Μεταφυσικῶς οὖν ταυτὰ ἢ ἕτερα λέγεται, ἐφ᾽ ὧν ϗ τὰ οὐσιώδη καὶ οἱ τρόποι ὡσαύτως, ἢ ἑτεροίως ἔχυσι. Κοινῆ δὲ ταυτὰ, ἐφ᾽ ὧν τὰ ὐσιώδη ἄτρεπτα μένει, τῶν τρόπων μεταβαλλόντων. Κἀκ τύτων συμφωνητέον τὸ περὶ τῆς τῶν νεκρῶν ἀναςάσεως δόγμα, καθ᾽ ὃ τὺς αὐτὺς μὲν ἀνθρώπυς πρεσβεύομεν ἐξαναςησομένυς, ὓς ἀλλαγήσεσθαι ϗ ἀλλοιωθήσεσθαι ἀπὸ τῶν θεσπεσίων πατέρων μυύμεθα.

Λς΄. Τετραπλῆ παρὰ τοῖς Σχολαςικοῖς ἡ διαίρεσις. Ἡ μὲν πραγματιώδης, ἡ δὲ κατ᾽ ἐπίνοιαν, ἡ δὲ τροπικὴ, ἡ δὲ Εἰδική. Καὶ πραγματιώδης μὲν ἡ μεταξὺ τῶν μὴ ταυτῶν, ϗ ἅπερ χωρὶς νοεῖται· οἷαι αἱ τρεῖς πλευραὶ, ϗ αἱ τρεῖς γωνίαι τῦ Τριγώνυ. Ζητεῖται εἰ τὰ πράγματι διῃρημένα δύναται ἀλλήλων χωρισθῆναι, δυνάμει τὐλάχιςον ἐσωτερικῇ, εἰ μὴ ἐξωτερικῇ; Οἱ μὲν οὖν ὑγιέςερον φρονῦντες ὕτως ἔχειν φασὶν, ὐ δὲ πράγματι διῃρημένα ἀλλήλων ἀξιῦσι καλεῖν τὰ δυνάμει τὐλάχιςον ἐσωτερικῇ χωρισθῆναι μὴ ἔχοντα (1)· τὰ δὲ πράγματι διαιρύμενα ϗ χωρὶς ἀλλήλων ὑπάρχειν δύνασθαι ὑπειλήφασιν. Ἐπεὶ δὲ ταῦτα ϗ οἱ περὶ Καρτέσιον ἀποδέχονται· οἱ δὲ ἄλλως τῦ ἀδιαχωρήτυ τὴν ἔκτασιν ὐδὲ θείᾳ δῆθεν δυνάμει χωρὶς γενέσθαι ὑποτιθέασιν, ἀπαντῆσαι ὐδαμῶς ἐδυνήθησαν τοῖς ἐκ τῆς πραγματιώδυς διαιρέσεως τῦ ἀδιαχωρήτυ ϗ τῆς ἐκτάσεως τὴν κενὴν ἔκτασιν δυνατὴν εἶναι ἀποδεδειχόσι.

ΛΖ΄. Διαίρεσις ἡ τῦ λόγυ καλυμένη ϗ κατ᾽ ἐπίνοιαν ἐςὶ, καθ᾽ ἣν ὡς διῃρημένα νοεῖται τὰ μηδαμῶς διῃρημένα, ϗ ἔςιν ἐπὶ τῦ αὐτῦ ἁπλυςάτυ ἐννοιῶν

(1) Ἐνρίκος ὁ Μόρος ἐν τῷ Ἐγχειριδ. Μέρ. Α΄. Κεφ. 4.



Ε.Υ.Δ. Κ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

διάκρισις. Οἷον ἐὰν ὦσιν εὐθεῖαι τρεῖς Α, Β, Γ οὕτω κείμεναι, ὡς τὴν μὲν Α κάθετον εἶναι πρὸς τὴν Β, παράλληλον δὲ πρὸς τὴν Γ, ὁ λόγος τῆς καθέτου, καὶ ὁ τῆς παραλληλίας ἐπὶ τῆς Α τῷ λόγῳ μόνῳ διακριθήσονται. Ἔνθα σημειωτέον, ὡς ἐν αὐτῷ τῷ πράγματι δέον εἶναι τῶν διαφερουσῶν ἐννοιῶν τὸν θεμέλιον, ἢ ποικίλως τῷ νῷ ὑποπίπτοντι, ἢ σχέσεις ποικίλας ἔχοντι, εἰμὴ δέοι πεπλασμένην εἶναι τὴν τῷ νῷ γινομένην διαίρεσιν καὶ ἐπίπλαστον. Καὶ φευκτέον ἄρα ἐπὶ τῶν θείων προσόντων τὴν ἀμενηνὴν ταύτην διαίρεσιν, ἣν εἰσῆγεν ἀσεβῶν Εὐνόμιος, καὶ ἄλλοι, οὐχ ἧττον ἢ τὴν Γιλιβέρτου τοῦ Πορρετάνου πραγματικὴν διάκρισιν.

ΛΗ'. Διαίρεσις εἰδική, ὡς οἱ τῆς τῶν Σκοτιστῶν φατρίας τῶν πρώτων εὑραμένων φασίν, ἐστὶν ἡ μεταξὺ τῶν εἰδικοτήτων χωροῦσα, τῆς μὲν πραγματιώδους ἐλάσσων, τῆς δὲ τῷ λόγῳ γινομένης μείζων. Εἰδικότητας δὲ καλοῦσι τά τε οὐσιώδη τοῦ Ὄντος, καὶ τὰ ἴδια, καὶ τοὺς τρόπους. Περὶ γοῦν ταύτης τῆς διαιρέσεως μέγα τὸ νεῖκος μεταξὺ τῶν Φραγγισκανῶν παρὰ Λατίνοις μοναχῶν, καὶ τῶν Δομινικανῶν, καὶ Γησουϊτῶν.

ΛΘ'. Τὰ διαιρεῖσθαι δυνάμενα ἢ πράγματα ἐστίν, ἢ φωναί, ἢ ἰδέαι, ἢ ἐνέργειαι. Τὰ μὲν οὖν πράγματα πράγματι καὶ διαιρεῖται ἀλλήλων διὰ τῶν ἰδίων οὐσιῶν. Αἱ δὲ φωναὶ διὰ τῶν ἤχων. Αἱ δὲ ἰδέαι διὰ τῶν διακεκριμένων, ἃ παριστῶσιν, ἀντικειμένων. Αἱ δὲ ἐνέργειαι ἢ ἀπὸ τῶν διῃρημένων αἰτίων, ἢ γοῦν ἀπὸ τῶν χρόνων, ἐὰν ἐκ διαλειμμάτων ὦσι τελούμεναι.

Μ'. Ἀντίθετα καλοῦμεν τὰ ἀλλήλων ὄντα ἀναιρετικά, οἷον τὸ ὑπάρχειν καὶ μὴ ὑπάρχειν, στρογγυλότης καὶ τετραγωνισμός. Λέγεται δὲ τοῖς Σχολαστικοῖς ἀντίφασιν περιέχειν, οὗ πρὸς ὕπαρξιν τὰ ἀντίθετα εἰς ταυτὸ ἥκειν ἀνάγκη, οἷον κύκλος τετράγωνος, καὶ τὰ παραπλήσια.

## ΚΕΦΑΛ. Ε'.

## Περὶ τοῦ Ἑνός.

ΜΑ'. Ἓν λέγεται τὸ λεγόμενον πρόσθ' ἑαυτὸ καὶ πρὸς ἕτερα. Κἀκείνως μέν, ἢ ἁπλοῦν ὄν, ἢ τῶν αὐτοῦ οὐσιωδῶν καὶ ἰδίων εἰς ἕνα λόγον οὐσιώδη συνιόντων. Οὕτω δὲ ἐκείνων διῃρημένον ὄν, καὶ χωρὶς κείμενον.

ΜΒ'. Ἔστι δὲ καὶ ἓν τὸ μὲν ἁπλοῦν, τὸ ἄμοιρον μερῶν πράγματι ἀλλήλων διῃρημένων, τὸ δὲ σύνθετον οὗ μέρη ἐστίν, οἷον τὸ σῶμα. Ἡ δὲ τοῦ Ἑνὸς σύνθεσις κατὰ τοὺς Σχολαστικοὺς φάναι, ἢ φυσική ἐστιν, οἷα ἡ τοῦ μέρη ἔχοντος

πράγματι διῃρημένα ϗ διαχωρισθῆναι δυνάμενα· τοιαύτη ἡ τȣ̃ σώματος· ἡ μεταφυσικὴ ἡ ἐξ οὐσίας ϗ ὑπάρξεως, οἷα ἡ πάντων τῶν δημιȣργημάτων, ὧν ὁ τȣ̃ τὶ ἦν εἶναι λόγος τȣ̃ ὑπάρχειν τȣ̉λάχιςον τῷ λόγῳ διήρηται. Ἡ δὲ Λογικὴ ἡ ἐκ γένȣς ϗ διαφορᾶς σύςασις. Ἡ μὲν οὖν τȣ̃ Ἑνὸς ἔννοια ἔμφυτος τῷ Πλάτωνι ϗ Πλωτίνῳ ὕςερον ϗ Αὐγȣςίνῳ διεπρεσβεύετο, οἷς ἔσχατον συνέθετο Δόριας. Ἀλλὰ τὴν ἔννοιαν τȣ̃ ἑνὸς τȣ̃ συνθέτȣ, ϗ τȣ̃ πρὸς ἕτερα, διὰ τῶν αἰσθήσεων, ϗ μάλιςα δὶ ὀφθαλμῶν ϗ ἁφῆς ἐπεισάγεσθαι τῷ Λωκίῳ διεξοδικῶς ἀποδέδεικται. Ἐφ' οἷς ϗ τȣ̃ ἑνὸς τȣ̃ ἁπλȣ̃ τὴν ἔννοιαν ἀπὸ τῶν ἁπλῶν ἰδεῶν τῶν τρόπων ἀφαιρέσει ϗ ἐπιςάσει νȣ̃ ἡμῖν ἐγγίνεσθαι δυνατὸν δοκεῖ· ἢ τὶ κωλύει; Πάρ ὅ ϗ εἰ ἔμφυτος ἡμῖν ἐνῆν ἡ τȣ̃ ἑνὸς ἰδέα, ϗ αὐτὴ αὕτη ἡ τȣ̃ Θεȣ̃, ὡς ὁ Δόριας ὑπείληφε, τὶ ὅτι περὶ τῆς φύσεως αὐτῆς ȣ̉δὲν ὕπω ἀκραιφνὲς ἡμῖν ἐννοῆσαι ἐγένετο;

ΜΓʹ. Ἡ τῆς ἑνότητος ἔννοια ἐςὶ κατ' ἀφαίρεσιν, καθ' ἣν ϗ ἓν λέγομεν τὸ συγκεκριμένον.

ΜΔʹ. Ὅλον ἐςὶ τὸ ἓν τὸ σύνθετον, μέρη δὲ τὰ πολλὰ, ἐξ ὧν τὸ ὅλον συναπαρτίζεται. Αἱ γȣ̃ν τȣ̃ ὅλȣ ϗ τȣ̃ μέρȣς ἔννοιαι τῶν σχετικῶν εἰσὶ, ϗ ἅμα τῇ γνώσει. Τὸ γȣ̃ν ὅλον λέγεται κατ' ἀναφορὰν πρὸς τὴν σύνθεσιν, τὸ δὲ μέρος κατὰ σχέσιν πρὸς τὰ λοιπὰ, ἐξ ὧν τὸ ὅλον. Ἔνθεντοι ϗ ζητȣμένȣ εἰ ὅλον τὶ ἐςὶν, ἢ ἓν ἁπλȣ̃ν, ἐρευνητέον τὴν τῶν μερῶν φύσιν, πότερον ἀμέλει πράγματι, ἢ μόνῳ τῷ λόγῳ ἀλλήλων διήρηται. Εἰ γὰρ ἐκεῖνο, ἕξει ϗ τὴν οὐσίαν διῃρημένην τὰ μέρη, εἰ δὲ τȣ̃το ȣ̉δαμῶς. Ἐξ ὧν δὴ ϗ τὸ ζήτημα ἤρτηται, πότερον τὸ κενὸν διάςημα τῶν περὶ Ἐπίκȣρον καὶ Νεύτωνα ἁπλȣ̃ν ὂν τυγχάνει, ᾧ μὴ ᾖ μέρη πράγματι ἀλλήλων διῃρημένα, κἂν μέρη αὐτῷ ἐπινοῆται, ὡς ὁ Μόρος (1) ϗ ὁ Κλάρκιος διϊσχυρίζονται, ἢ γȣ̃ν ὂν ἐςὶ σύνθετον ἐξ ἄλλων ἁπλȣςέρων, ἅπερ ἐσωτερικῶς μόνον, καὶ ȣ̉κ ἐξωτερικῶς διαχωριςὰ πέφυκεν, ἧπȣ δόξης ἔχει Ἀρσοεκέριος (2);

ΜΕʹ. Διαιρȣ̃σι δὲ ἔτι τὸ Ἓν οἱ Φιλόσοφοι εἰς τὸ καθόλȣ ϗ καθ' ἕκαςον. Καὶ τὸ καθόλȣ ἢ κατ' ἰδέαν ἐςὶ φασὶ, τὴν μίαν μὲν ȣ̉̃σαν καθ' ἑαυτὴν πολλὰ δὲ πεφυκυῖαν παριςάνειν, ἢ κατὰ φωνὴν, τὴν πολλὰς κατὰ τὸ αὐτὸ ἰδέας σημαίνȣσαν, ἢ κατ' ἐνέργειαν τὴν αὐτὴν ἐν πλείοσιν ὑποκειμένοις, ἢ κατὰ τὸ πρᾶγμα τὸ αὐτὸ ϗ ἓν ἅμα ϗ πολλαπλάσιον. Καθ' ἕκαςον

(1) Ἐν τῷ Ἐγχ. μέρει Α΄. Κεφ. Γ΄. §. δ΄.

(2) Δρόμ. Φυσ. Βιβλ. Δ΄. Κεφ. Δ΄.

Ε.Υ.Δ της Κ.Ι.Π ΙΩΑΝΝΙΝΑ 2006

δὲ τὸ ἓν, τὸ μηδενὶ προσανῆκον ἑτέρῳ, ϗ ἀδιαίρετον μὲν ὂν ἐν ἑαυτῷ, ἄλλȣ δὲ παντὸς διαιρȣμενον, ὃ καὶ ἄτομον εἴωθε καλεῖσθαι. Οἱ μὲν οὖν Σχολαςικοὶ ταῦτα. Ὁ δὲ Μόρȣς ἀνδεξάτην οἴεται τὴν τȣ ὄντος διαίρεσιν εἰς τὸ καθόλȣ, ϗ τὸ καθ᾽ ἕκαςον. Ὅτι γὰρ ὑφέςηκε, φησὶ, καθ᾽ ἕκαςον ἐςὶ, καθόλȣ δ᾽ ȣδὲν, εἰμὴ τρόποι τινὲς τȣ νοεῖν ϗ λόγοι, ȣς ἐκ τῆς Λογικῆς παιδευόμεθα ἕξεως.

Μς'. Γένος ἐςὶ τοῖς φιλοσοφȣσι τὸ πολλοῖς προσανῆκον καθόλȣ, τȣτοις ὁλοσχερὲς ἑνόν. Εἶδος δὲ τὸ πολλοῖς τῶν καθ᾽ ἕκαςα. Ῥάδιον δὲ συνιδεῖν τὰ γένη ϗ τὰ εἴδη οὐσίας εἶναι ὀνοματώδεις, ȣχὶ δὲ πραγματιώδεις, εἰμήπȣ κατὰ τὴν δόξαν τῶν φύσιν τινὰ ϗ οὐσίαν καθόλȣ ὑποτιθεμένων. Τὸ τοίνυν εἶδος νόησις ἐςὶ πολλῶν καθ᾽ ἕκαςα τῆς αὐτῆς ἢ παραπλησίας φύσεως, τὸ δὲ γένος νόησις πολλῶν ὁμοίων εἰδῶν φησὶ Λώκιος (1).

ΜΖ'. Πρόσωπον ἐςὶν ἄτομον λογικόν. Ὡ δὲ τὸ ὂν ἐςὶν ἄτομον, ἀρχὴ καλεῖται παρὰ τοῖς Σχολαςικοῖς ἀτομότητος, τὸ δὲ πρόσωπον ϗ ὑπόςασις ἤκȣσεν, ἤτε ἀρχὴ τῆς ἀτομότητος τȣ προσώπȣ προσωπότης. Σημειωτέον ἀλλ᾽ οὖν, ὁπηνίκα περὶ τῶν θεαρχικῶν προσώπων ἵςαται λόγος, μὴ χρῆναι ὡς πρόσωπον λογικὸν ἐκλαμβάνειν τὸ πρόσωπον, ȣτινος ἡ φύσις τῆς τῶν ἄλλων διῄρηται φύσεως. Αὕτη γὰρ ἀπάτη πρὸς ἀσέβειαν τοῖς περὶ Εὐνόμιον ϗ Σοκῖνον ἐγένετο, οἳ κατὰ τῆς Τριάδος, ὡς δόγματος ἀντιφάσει περιπίπτοντος, ἐξεμάνησαν, ταῖς ἀπὸ τῶν κτισμάτων ἐννοίαις τὰ τȣ ἀκτίςȣ Θεȣ ςαθμᾶσθαι τολμῶντες οἱ δείλαιοι.

## ΚΕΦΑΛ. ς'.

## Περὶ Δυνάμεως καὶ Αἰτίων.

ΜΗ'. Δύναμις ἐςὶν ἡ πρὸς τὸ ἐνεργεῖν ἕξις ϗ δεξιότης, οἷα ἡ τȣ νοεῖν δύναμις, ἡ κινητικὴ, ϗ αἱ παραπλήσιαι. Ὁ δὲ λόγος περὶ τῶν ἐνεργητικῶν μάλιςα δυνάμεων· αἱ γὰρ παθητικαὶ καταχρηςικώτερον λέγονται. Τῶν οὖν δυνάμεων ἡ ἐπίκρισις ἐκ τῆς ἐνεργείας· ἐκ ταύτης γὰρ ἐκείνην εἰκάζομεν, ϗ ἐκ τῆς φύσεως ϗ ἐπιτάσεως ἐκείνης ταύτας, ὅπως ἔχȣσι φύσεως ϗ τελειότητος, συνιδεῖν ἐπειγόμεθα, καίτοι ȣκ ἀεὶ εὐτυχῶς. Καὶ γὰρ ἐνεργημάτων μὲν πολλῶν ἐν τῷδε τῷ παντὶ αἰσθήσει ϗ συνειδήσει ψυχῆς καθαπτόμεθα, τῆς δὲ τῶν ἐνεργητικῶν δυνάμεων φύσεώς τε ϗ οὐσίας μόλις εἰκασίᾳ τινὶ

(1) Βιβλ. Γ'. Κεφ. Γ'. §. ιβ'. ϗ ιγ'.

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006